www.tezaurliturgic.ro

# ΙΕΡΑ ΠΑΡΑΚΛΗΣΙΣ
# ΠΡΟΣ ΤΟΝ ΑΓΙΟΝ ΝΙΚΟΛΑΟΝ ΠΛΑΝΑΝ

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ 142

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκ-

www.tezaurliturgic.ro

κον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. (τετράκις)

Τροπάρια. Ἦχος δ'. Ὁ ὑψωθείς.

**Τ**ῷ θεοφόρῳ Νικολάῳ προσέλθωμεν
οἱ ἐν ἀνάγκαις, ἀσθενείαις καὶ θλίψεσι,
τὴν παρ' αὐτοῦ βοήθειαν αἰτοῦντες ἐκ ψυχῆς·
παρρησίαν ἔχει γὰρ πρὸς Χριστὸν τὸν σωτῆρα
καὶ αὐτοῦ τὸ ἔλεος ἐπισπᾶται ἀφθόνως
τοῖς αἰτουμένοις χάριν ἐκ Θεοῦ,
πίστει βαθείᾳ, εἰς ὄνησιν* εὔκαιρον.

Δόξα. Καὶ νῦν.

**Ο**ὐ σιωπήσωμέν ποτε, Θεοτόκε,

* Ἤ· «εἰς ἴασιν εὔκαιρον», προκειμένου περὶ ἀσθενῶν, ἀντὶ «ὄνησιν» (= ὠφέλειαν).

www.tezaurliturgic.ro

τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

## ΨΑΛΜΟΣ Ν′ (50ός)

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

www.tezaurliturgic.ro

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

## ΚΑΝΩΝ

Οὗ ἡ ἀκροστιχίς: «Ἁγίῳ Νικολάῳ Πλανᾷ ἱκεσία Νικοδήμου Π(ατρῶν)».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

**Ἀ**γρύπνους εὐχάς σου, Πάτερ Πλανᾶ,
Κυρίῳ προσάγων, ἡγιάσθης ὡς ἐκλεκτὸς
λειτουργὸς τῶν θείων μυστηρίων·
νῦν δὲ εὐχέτην ἡμῶν σε κεκτήμεθα.

www.tezaurliturgic.ro

Γινώσκοντες πρέσβυν σε πρὸς Θεόν,
ἱκέσιον ὕμνον ἀναμέλπομεν ἐκτενῶς·
σκέπε τοὺς τελοῦντας ἐν κινδύνοις,
καὶ ταῖς πρεσβείαις σου, Πάτερ, διάσωσον.
Ἱλέωσαι ἅγιε τὸν Χριστόν,
ὀργῆς ἐκλυτρῶσαι καὶ κακώσεως καὶ φθορᾶς,
τοὺς περιπεσόντας ἁμαρτίαις,
ἃς διὰ σώματος ἕκαστος ἔπραξεν.

Θεοτοκίον

Ὡράϊσμα, κλέος, δόξα, σεπτὴ
Δέσποινα τοῦ κόσμου, Παναγία Μήτηρ Θεοῦ,
δέξαι παρακλήσεις ἱκετῶν σου,
καὶ τῷ Υἱῷ καὶ Θεῷ σου προσάγαγε.

ᾨδὴ γ'. Οὐρανίας ἁψῖδος.

Νικολάου τοὺς πόδας ὑπὲρ τὴν γῆν ἔβλεπον,
ἔκθαμβοι οἱ ἄκακοι παῖδες καὶ διηγήσαντο,
δόξαν οὐράνιον φωτὸς ἀκτίστου ἐκλάμπειν,
περιρρέειν δ' ἄνωθεν τοῦτον δεόμενον.
Ἱερεὺς τοῦ Ὑψίστου, Πάτερ Νικόλαε γέγονας,
κλῆσιν οὐρανίαν ἐδέξω καὶ ἠκολούθησας·
ὡς δ' ἐμνημόνευες ὀνομαστὶ τῶν σῶν τέκνων,
καὶ ἡμῶν νῦν μνήσθητι τῆς παρακλήσεως.
Καθαρᾶς ἐκ καρδίας ἱερουργῶν· Ἅγιε,

www.tezaurliturgic.ro

ὡς νυχθημερὸν οὐκ ἐπαύσω Χριστῷ δεόμενος,
καὶ νῦν ἱκέτευε, Πάτερ Πλανᾶ ταῖς εὐχαῖς σου,
δοῦναι τὸν Φιλάνθρωπον πᾶσιν ὧν χρῄζομεν.

Θεοτοκίον

Ὅλος ἦν ἐν τοῖς κάτω,
καὶ ἐκ τῶν ἄνω ἀχώριστος,
Λόγος ἀπερίγραπτος ἦλθε, σῶσαι τὸν ἄνθρωπον·
Σὺ δὲ Πανάχραντε, τοῦ Ἀχωρήτου ἡ χώρα,
σκέπε, φρούρει, φύλαττε ἡμᾶς τῇ σκέπῃ σου.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου,
Πανοικτίρμον,
Νικολάου Πλανᾶ εὐχαῖς, ὁσίου πατρὸς ἡμῶν,
ᾧ ἔδωκας πολλὴν πρὸς Σὲ παρρησίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε, Θεοτόκε,
ἐπὶ τὴν οἰκτρὰν ἀναξίων ἡμῶν παράκλησιν,
σὺν πάτρωνι Νικολάῳ εὐχέτῃ.

Αἴτησις καὶ μνημόνευσις ὑπὸ τοῦ ἱερέως· μεθ' ἣν ψάλλεται τὸ ἀκόλουθον·

Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.

Πρεσβείαν θερμὴν αἰτούμεθα, μακάριε,
ποιῆσαι Χριστῷ ὑπὲρ τῶν προστρεχόντων σοι·
ἱερὲ Νικόλαε, ἐκτενῶς Ὑπεράγαθον αἴτησαι,
ὡς παρρησίαν ἔχων πρὸς Αὐτόν,
ἐλέους τυχεῖν τοὺς ἀνυμνοῦντάς σε.

www.tezaurliturgic.ro

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Λυτρωτὰ πολυέλεε,
σεπτοῦ Νικολάου Πλανᾶ δεήσεσι,
τὴν ἡμῶν δέξαι παράκλησιν,
τῶν σοὶ προσφευγόντων ἐκ πίστεως.

Ἀνεξίκακε Κύριε,
μὴ μνησθῇς πταισμάτων ἀχρείων δούλων σου,
ἑαυτοὺς γάρ Σοι ἀνέθεντο,
Πλανᾶ Νικολάου πρεσβεύοντος.

Ὡραιότητι Ὅσιε,
τῆς ἁγιωσύνης καταλαμπόμενος,
πρὸ τοῦ θρόνου τοῦ Παντάνακτος
μετὰ παρρησίας παρίστασαι.

Θεοτοκίον

Παναγία θεόνυμφε,
Σὺ τοῦ κόσμου Δέσποινα καὶ βοήθεια,
καὶ ἡμῶν γενοῦ μεσίτρια,
ἱεροῦ Πλανᾶ ἐπακούουσα.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Λόγον ἀγαθὸν σὴ καρδία ἐξηρεύξατο
νυχθημερόν, ἅγιε Πάτερ, Θεῷ,
λόγον δὲ νῦν ὑπὲρ ἡμῶν εἰπὲ ἱκέσιον.

Ἄνεσιν ἡμῖν ἐκ κακῶν παντοίων, Ἅγιε,

www.tezaurliturgic.ro

παρὰ Κυρίου τοῦ Θεοῦ ἐκζητῶν
μὴ διαλίπῃς τῇ ἐνθέῳ παρρησίᾳ σου.
Νέκρωσιν παθῶν, πειρασμῶν τε τὴν ὑπέρβασιν,
Πάτερ, μιμούμενοι τὴν σὴν βιοτήν,
τῇ θείᾳ χάριτι, σὺν σοὶ κατορθώσοιμεν.

Θεοτοκίον

Ἄνασσα σεπτή, Θεοτόκε Παμμακάριστε,
ἁγίων μείζων Σὺ ὑπάρχεις ἀληθῶς,
ἡ Θεὸν Λόγον ἁγιώτατον κυήσασα.

ᾨδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

Ἱκάνωσον ταῖς εὐχαῖς σου, Ἅγιε,
πορευθῆναι τὴν ὁδὸν τοῦ Κυρίου,
καὶ ἀκλινῶς ἡμᾶς πίστιν τηρῆσαι,
καὶ τὸν ἀγῶνα τὸν καλὸν ἀγωνίσασθαι,
καὶ τοὺς στεφάνους τῆς ζωῆς,
ἐν ἡμέρᾳ τῆς κρίσεως δέξασθαι.
Καλέσαντες τὸ σεπτόν σου ὄνομα
ἀρετὴν ἀξιοχρέως τιμῶμεν·
Πάτερ Πλανᾶ, ὀνομάζειν σε γνόντες,
τῆς ἁγιότητος τύπον ἐκφέρομεν·
καὶ ἐνδοξάζομεν Θεόν,
θαυμαστὸν τοῖς ἁγίοις ὑπάρχοντα.
Εὐλόγησον οὐρανόθεν, Ἅγιε,

www.tezaurliturgic.ro

τοὺς προστρέχοντας τῇ σῇ βοηθείᾳ·
καὶ δωρεάν, ὥσπερ ἔλαβες, Πάτερ,
δωρεὰν δίδου τοῖς χρῄζουσι δόματα,
τῶν παρακλήσεων ἡμῶν
ἐπακούων τῇ σῇ ἀγαθότητι.

Σωτήριον θείαν χάριν ἤντλησας
ἐκ πηγῶν τοῦ σωτηρίου, τρισμάκαρ·
καὶ πρεσβευτήν, τῆς ἡμῶν σωτηρίας,
ἁγιώτατε Πάτερ, σὲ ἔγνωμεν,
ἀνατιθέντες ἑαυτοὺς
θεοδέκτοις εὐχαῖς σου πρὸς Κύριον.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου,
Πανοικτίρμον
Νικολάου Πλανᾶ εὐχαῖς, ὁσίου πατρὸς ἡμῶν,
ᾧ ἔδωκας πολλὴν πρὸς σὲ παρρησίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν οἰκτρὰν ἀναξίων ἡμῶν παράκλησιν
σὺν πάτρωνι Νικολάῳ εὐχέτῃ.

Αἴτησις καὶ μνημόνευσις ὑπὸ τοῦ ἱερέως· μεθ᾽ ἥν·

Κοντάκιον.

Ἦχος β′. Προστασία τῶν χριστιανῶν.

Προστασίαν σε, Πάτερ Νικόλαε, ἔγνωμεν,
τὸν ἐκ Νάξου ἔνθεον Κυρίου θεράποντα.

www.tezaurliturgic.ro

Τῷ ναῷ σου, καὶ τῇ σεπτῇ εἰκόνι σου πιστῶς
προσερχόμεθά σε προσκαλεῖν,
εἰς τὴν βοήθειαν ἡμῶν
τῶν πιστῶς κραυγαζόντων σοι·
πρόφθασον ἐν κινδύνοις καὶ πάρεσο ἐν ἀνάγκαις,
τὰς ἐπηρείας τῶν δεινῶν
διώκων τοῖς θαύμασι.

## Προκείμενον

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

## Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Ματθαῖον (ιη′ 10-20).

Εἶπεν ὁ Κύριος· ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός. Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐνενήκοντα ἐννέα, ἐπὶ τὰ ὄρη, πορευθεὶς ζητεῖ τὸ πλανώμενον; Καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα, τοῖς μὴ πεπλα-

www.tezaurliturgic.ro

νημένοις. Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ Ἐκκλησίᾳ, ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Πάλιν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.

Δόξα Πατρί.

Ταῖς τοῦ σοῦ Ἁγίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

www.tezaurliturgic.ro

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Προσόμοιον. Ὅλην ἀποθέμενοι.

Κύριε φιλάνθρωπε, ἀνοίξαντός σου τὴν χεῖρα
τὰ σύμπαντα γέμουσι δωρεῶν σῆς χάριτος
καὶ χρηστότητος.
Θλίψεις ἀπελαύνονται, νόσοι ἐκδιώκονται
καὶ δαιμόνων φυγαδεύονται σφοδρὰ τοξεύματα,
κίνδυνοι παντοῖοι ἐκλείπουσιν,
Ἀγγέλων καὶ Ἁγίων δὲ τάξεις
ἀοράτως παρίστανται,
ἐν οἷς καὶ πρεσβύτης Νικόλαος Πλανᾶς ὁ ταπεινὸς
ἡμῶν προστάτης γινώσκεται προσεπικαλούμενος.

Ὁ Ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ἐκφώνησις· Ἐλέει καὶ οἰκτιρμοῖς...

Καὶ ἀκολουθεῖ ἡ συνέχεια τοῦ Κανόνος.

Ὠδὴ ζ′. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἱερᾷ σου προθέσει
τῷ Σωτῆρι σαὐτὸν ἀφιέρωσας,
καὶ τῆς ἱερωσύνης στολὴν ἠμφιεσμένος
ἐκ βαθέων ἀνέμελπες·
Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro

Ἀγγελόμορφος ὤφθης,
λειτουργῶν τῷ Κυρίῳ, Πάτερ Νικόλαε,
τῆς χάριτος ἀκτῖσι, τὴν ὄψιν ηὐγασμένος,
καὶ μετάρσιος ἔλεγες·
Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ναῷ σου ἐν ἁγίῳ,
ἐξαιτούμεθα, Πάτερ Πλανᾶ Νικόλαε,
εὐλόγει οὐρανόθεν, σοὺς ταπεινοὺς ἱκέτας,
καὶ διάσωσον ψάλλοντας·
Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον

Ἱκετεύομεν πάντες,
Θεοτόκε, οἱ δοῦλοί σου οἱ ἀνάξιοι·
πλήθει ἁμαρτημάτων, περιπεσόντας ῥῦσαι,
τῷ Υἱῷ σου νῦν κράζοντας·
Ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν οὐρανῶν.

Κλῖνον τὸ οὖς σου, καὶ τὴν παράκλησιν δέξαι,
τῶν σῶν τέκνων, Νικόλαε Πάτερ,
τῶν ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὅρα κυκλόθεν, τῆς σῆς εἰκόνος, θεόφρον,
ἀθροισθέντας τοὺς σὲ ἀνυμνοῦντας
καὶ ὑπερυψοῦντας Χριστὸν εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro

Δέησιν δέξαι ὀνόματός σου μνησθέντων,
καὶ μνημόνευε ἡμῶν ταῖς εὐχαῖς σου·
καὶ γὰρ ἐπ᾽ ἐλπίδι τὸν Κύριον ὑμνοῦμεν.

Θεοτοκίον

Ἡ προσφιλής σοι Ναξίων νῆσος γεραίρει,
Ἐκκλησία δὲ ἀξίως ὑμνεῖ σε,
τὸν τῆς Θεοτόκου νυχθήμερον ἱκέτην.

ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.

Μεγάλυνον ψυχή μου, τὸν ἱεροφάντην
Πλανᾶν Νικόλαον, Νάξου τὸ βλάστημα,
ἀντιδιδόντα σοι εὔκαιρον τὴν βοήθειαν.

Ὁ πάνσεπτος πρεσβύτης, οἰκεῖος ὑπάρχων,
ἡμῖν εὐήκοα ὦτα τείνει τοῖς μέλπουσιν
αὐτῷ τὴν ὕμνησιν καὶ παράκλησιν.

Ὑγραίνοντι προσώπῳ, δακρύων ἐκχύσει,
Πάτερ Νικόλαε, σὲ ἱκετεύομεν·
ἀντιλαβοῦ, ἀγαθέ, τῶν παρακαλούντων σε.

Θεοτοκίον

Πανάχραντε Παρθένε, Μῆτερ Θεοῦ Λόγου
Ἁγίῳ Πνεύματι τοῦτον κυήσασα,
σὺν ἱερεῖ Νικολάῳ Πλανᾷ με φρούρησον.

www.tezaurliturgic.ro

Μεγαλυνάρια

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,
μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον
καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ,
καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,
τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν
καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν,
τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας,
τὴν Δέσποιναν τοῦ κόσμου, ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν
ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή·
πρὸς Σὲ καταφεύγω, τὴν Κεχαριτωμένην,
ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Καὶ τοῦ Ἁγίου.

Χαίροις ὁ τῆς Νάξου θεῖος βλαστός,
καὶ τῶν ἱερέων ὁ ἐν πᾶσιν ὑπογραμμός,
ἐλεημοσύναις, νηστείαις, ἀγρυπνίαις
καὶ προσευχαῖς σχολάζων, Πάτερ Νικόλαε.

Κεχαριτωμένος παρὰ Θεοῦ,
καὶ ἠγλαϊσμένος τῷ ἀκτίστῳ θείῳ φωτὶ

www.tezaurliturgic.ro

ἐν τῇ Ἐκκλησίᾳ, Νικόλαε ὠράθης,
ἐμφαίνων τοῖς ἀνθρώποις δόξαν τὴν ἄρρητον.

Τὸν ἡγιασμένον σε τοῦ Θεοῦ
πιστὸν οἰκονόμον μυστηρίων πνευματικῶν,
χάριτος ποικίλης, γινώσκοντές σε μύστην,
Νικόλαε αἰτοῦμεν, ἡμῶν μνημόνευε.

Θρόνῳ παριστάμενος τῷ σεπτῷ
μετὰ παρρησίας νῦν ἱκέτευε τὸν Χριστόν,
σοῦ γὰρ ἐπακούων, δωρεῖται τοῖς αἰτοῦσι
δόματα ὧν περ χρῄζομεν καὶ ἰάματα.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τρισάγιον... Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὰς τοῦ πλάνου παγίδας ἐκφυγών, ἱερώτατε,
ἀπλανῶς ἐπορεύθης, διὰ βίου Πατὴρ ἡμῶν,
Νικόλαε ἀοίδιμε Πλανᾶ,
οὐράνια χαρίσματα λαβών,
ἀγρυπνίαις καὶ νηστείαις,
ἱερουργῶν ὁσίως τῷ Κυρίῳ σου·

www.tezaurliturgic.ro

Ὅν περ καθικετεύων ἐκτενῶς,
Νάξιον ἱεράτευμα,
πρέσβευε δωρηθῆναι καὶ ἡμῖν τὸ θεῖον ἔλεος.

Αἴτησις· Ἐλέησον ἡμᾶς ὁ Θεός... Καὶ μνημόνευσις.

Ἐκφώνησις· Ὅτι ἐλεήμων...

Καὶ Ἀπόλυσις.

Πρὸ τοῦ «Δι᾽ εὐχῶν» ψάλλεται τὸ ἑπόμενον ἐπισφραγιστικὸν τροπάριον.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Πάτερ, τοῖς λειψάνοις σου ἐγγύς,
καὶ σεπτῆς εἰκόνος σου πρόσθεν,
τὰς ἱκεσίας ἡμῶν
σοὶ ἀνατιθέμεθα,
ὅπως πρεσβείαις ταῖς σαῖς
τὰ ἐλέη δεξώμεθα
Χριστοῦ τοῦ Σωτῆρος,
καὶ παρακαλοῦμέν σε
οἱ ἐν ἀνάγκαις πολλαῖς·
ἵλεων ἡμῖν τὸν Δεσπότην
τῇ σῇ δυνατῇ παρρησίᾳ
ποίησον Νικόλαε μακάριε.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν...